1 Κωτίλας
3 τῆ τόδ' ἄτριον νέον
5 πρόφρων δὲ θυμῷ δέξο δὴ γὰρ ἁγνᾶς
7 τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκιξε κᾶρυξ
9 ἄνωγε δ' ἐκ μέτρου μονοβάμονός με τὸν πάροιθ'
ἀέξειν
11 θοῶς δ' ὕπερθεν ὠκὺ λέχριον φέρων νεῦμα ποδῶν ⟨σποράδων⟩
πίφαυσκεν
13 θοαῖς ἴσ' αἰόλαις νέβροις κῶλ' ἀλλάσσων ὀρσιπόδων ἐλάφων τέκεσσι
15 πᾶσαι κραιπνοῖς ὑπὲρ ἄκρων ἱέμεναι ποσὶ λόφων κατ' ἀρθμίας ἴχνος
τιθήνας
17 καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ' αὐδὰν θὴρ ἐν κόλποις δεξάμενος θαλαμᾶν
μυχοιτάτοις
19 κᾆτ' ὦκα βοᾶς ἀκοὰν μεθέπων ὅγ' ἄφαρ λάσιον νιφοβόλων ἀν' ὀρέων
ἔσσυται ἄγκος
20 ταῖς δὴ δαίμων κλυτὸς ἶσα θοοῖσι⟨ν ὁδὸν⟩ δονέων ποσὶ πολύπλοκα
μεθίει μέτρα μολπᾶς
18 ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὀρουσ' εὐνὰν ματρὸς πλαγκτὸν μαιό-
μενος βαλιᾶς ἑλεῖν τέκος
16 βλαχᾷ δ' οἰῶν πολυβότων ἀν' ὀρέων νομὸν ἔβαν τανυσφύρων
τ' ⟨ἀν'⟩ ἄντρα Νυμφᾶν
14 ταί τ' ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ' αἶψα μεθ'
ἱμερόεντα μαζόν
12 ἴχνει θενὼν †τὸν† παναίολον Πιερίδων νομόδουπον
αὐδάν
10 ἀριθμὸν εἰς ἄκραν δεκάδ' ἰχνίων κόσμον νέ-
μοντα ῥυθμῶν
8 φῦλ' ἐς βροτῶν ὑπὸ φίλας ἑλὼν πτεροῖσι
ματρός
6 λίγειά νιν κάμ' ἀμφὶ ματρὸς ὠδίς
4 Δωρίας ἀηδόνος
2 ματέρος.